ρῶτα· ἣν γὰρ ἐπίστηται, καὶ μὴ ἀναιδὴς ᾖ, αἰσχυνεῖται, ἀργύριον εἰληφὼς, ἐνδεᾶ σε ἀποπέμψασθαι.

## *CAPUT II*

*Ostenditur, summum imperatoris officium esse, suos quibus praesit reddere felices.*

Ἐντυχὼν δέ ποτε στρατηγεῖν ᾑρημένῳ τῳ, Τοῦ ἕνεκεν, ἔφη, Ὅμηρον οἴει τὸν Ἀγαμέμνονα προσαγορεῦσαι ποιμένα λαῶν; ἆρά γε ὅτι, ὥσπερ τὸν ποιμένα ἐπιμελεῖσθαι δεῖ ὅπως σῶαί τε ἔσονται αἱ οἶες καὶ τὰ ἐπιτήδεια ἕξουσιν, οὕτω καὶ τὸν στρατηγὸν ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶοί τε οἱ στρατιῶται ἔσονται καὶ τὰ ἐπιτήδεια ἕξουσι, καὶ οὗ ἕνεκα στρατεύονται, τοῦτο ἔσται; στρατεύονται δὲ, ἵνα κρατοῦντες τῶν πολεμίων εὐδαιμονέστεροι ὦσιν. Ἢ τί δήποτε οὕτως 2
ἐπῄνεσε τὸν Ἀγαμέμνονα, εἰπών,

Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής;

ἆρά γε ὅτι αἰχμητής τε [καὶ] κρατερὸς ἂν εἴη, οὐκ εἰ μόνος αὐτὸς εὖ ἀγωνίζοιτο πρὸς τοὺς πολεμίους, ἀλλ' εἰ καὶ παντὶ τῷ στρατοπέδῳ τούτου αἴτιος εἴη; καὶ βασιλεὺς ἀγαθὸς, οὐκ εἰ μόνον τοῦ ἑαυτοῦ βίου καλῶς προεστήκοι, ἀλλ' εἰ καὶ ὧν βασιλεύοι, τούτοις εὐδαιμονίας αἴτιος εἴη; Καὶ γὰρ βασιλεὺς 3
αἱρεῖ-



§. 1. ποιμένα λαῶν] V. c. Iliad. β, 243. De hac autem ratione appellandorum Regum et Ducum, egregia disputatio est ap. Philon. lib. I de vita Mosis, init. *Ern.* Cf. Cyrop. I, 1, 2: VIII, 2, 14.

τὸν ποιμένα ε. δ. ο. σ. τ. ἔσονται] Exciderunt haec in Iunt. Sed in Cast. tantum desunt σῶαί τε ἔσονται.

ἕξουσιν, οὕτω] Post ἕξουσιν temere huc e seqq. repetita sunt in Iunt. et ap. Stob. καὶ οὗ ἕνεκα στρατεύονται (pro quo corrigit Castalio ποιμαίνονται, et Brodaeus τρέφονται), τοῦτο ἔσται.

τὰ ἐπιτήδεια] Cf. Cyrop. I, 6, 7 seqq.

§. 2. ἆρά γε] Abest γε a Stob.

αἰχμητής τε καὶ κρατερὸς] Si sana est lectio, vertendum: *bellator, isque fortis.* Sed doctiss. Hindeburgius malit καὶ deleri: ita melius sibi respondere αἰχμητής τε κρ. — καὶ βασιλεὺς ἀγαθὸς: quod non displicet. *Ern.*